24 καὶ παρενέβαλον εἰς Σαφαρ. [24]καὶ ἀπῆραν ἐκ Σαφαρ καὶ παρεν-
25 έβαλον εἰς Χαραδαθ. [25]καὶ ἀπῆραν ἐκ Χαραδαθ καὶ παρενέβαλον
26 εἰς Μακηλωθ. [26]καὶ ἀπῆραν ἐκ Μακηλωθ καὶ παρενέβαλον εἰς
27 28 Καταaθ. [27]καὶ ἀπῆραν ἐκ Καταaθ καὶ παρενέβαλον εἰς Ταραθ. [28]καὶ
29 ἀπῆραν ἐκ Ταραθ καὶ παρενέβαλον εἰς Ματεκκα. [29]καὶ ἀπῆραν ἐκ
30 Ματεκκα καὶ παρενέβαλον εἰς Σελμωνα. [30]καὶ ἀπῆραν ἐκ Σελμωνα
31 καὶ παρενέβαλον εἰς Μασσουρουθ. [31]καὶ ἀπῆραν ἐκ Μασσουρουθ
32 καὶ παρενέβαλον εἰς Βαναια. [32]καὶ ἀπῆραν ἐκ Βαναια καὶ παρεν-
33 έβαλον εἰς τὸ ὄρος Γαδγαδ. [33]καὶ ἀπῆραν ἐκ τοῦ ὄρους Γαδγαδ
34 καὶ παρενέβαλον εἰς Ετεβαθα. [34]καὶ ἀπῆραν ἐξ Ετεβαθα καὶ παρ-
35 ενέβαλον εἰς Εβρωνα. [35]καὶ ἀπῆραν ἐξ Εβρωνα καὶ παρενέβαλον
36 εἰς Γεσιωνγαβερ. [36]καὶ ἀπῆραν ἐκ Γεσιωνγαβερ καὶ παρενέβα-
λον ἐν τῇ ἐρήμῳ Σιν. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σιν καὶ παρ-
37 ενέβαλον εἰς τὴν ἔρημον Φαραν, αὕτη ἐστὶν Καδης. [37]καὶ ἀπῆραν
ἐκ Καδης καὶ παρενέβαλον εἰς Ωρ τὸ ὄρος πλησίον γῆς Εδωμ·
38 [38]καὶ ἀνέβη Ααρων ὁ ἱερεὺς διὰ προστάγματος κυρίου καὶ ἀπέ-
θανεν ἐκεῖ ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ισραηλ
39 ἐκ γῆς Αἰγύπτου τῷ μηνὶ τῷ πέμπτῳ μιᾷ τοῦ μηνός· [39]καὶ Ααρων
ἦν τριῶν καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέθνῃσκεν ἐν Ωρ τῷ
40 ὄρει. [40]καὶ ἀκούσας ὁ Χανανις βασιλεὺς Αραδ, καὶ οὗτος κατῴκει
41 ἐν γῇ Χανααν, ὅτε εἰσεπορεύοντο οἱ υἱοὶ Ισραηλ. [41]καὶ ἀπῆραν
42 ἐξ Ωρ τοῦ ὄρους καὶ παρενέβαλον εἰς Σελμωνα. [42]καὶ ἀπῆραν ἐκ
43 Σελμωνα καὶ παρενέβαλον εἰς Φινω. [43]καὶ ἀπῆραν ἐκ Φινω καὶ
44 παρενέβαλον εἰς Ωβωθ. [44]καὶ ἀπῆραν ἐξ Ωβωθ καὶ παρενέβαλον
45 ἐν Γαι ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων Μωαβ. [45]καὶ ἀπῆραν ἐκ Γαι
46 καὶ παρενέβαλον εἰς Δαιβων Γαδ. [46]καὶ ἀπῆραν ἐκ Δαιβων Γαδ
47 καὶ παρενέβαλον ἐν Γελμων Δεβλαθαιμ. [47]καὶ ἀπῆραν ἐκ Γελμων
Δεβλαθαιμ καὶ παρενέβαλον ἐπὶ τὰ ὄρη τὰ Αβαριμ ἀπέναντι Ναβαυ.
48 [48]καὶ ἀπῆραν ἀπὸ ὀρέων Αβαριμ καὶ παρενέβαλον ἐπὶ δυσμῶν
49 Μωαβ ἐπὶ τοῦ Ιορδάνου κατὰ Ιεριχω [49]καὶ παρενέβαλον παρὰ
τὸν Ιορδάνην ἀνὰ μέσον Αισιμωθ ἕως Βελσαττιμ κατὰ δυσμὰς
Μωαβ.

23 εις σαφαρ] εν αρσαφαρ A, εις ※ ορος ⸔ σαφαρ *O* || 24 εκ σαφαρ] εξ αρσαφαρ pau., εκ σαρσαφαρ A(+), εξ ※ ορους ⸔ σαφαρ *O* | εις] επι A || 27 θαραθ A: item in 28 || 28 μαθεκκα A: item in 29 || 29 ασελμωνα A: item in 30 (sed εκ retinet A ibi) || 30 μασσουρουθ] -ρωθ B(+) hic, non in 31; μασουρουθ A: item in 31 || 31 βαναια] βανικαν A: item in 32 || 32 το > A† || 33 εις ετεβαθα] εις σετεβ. B*(+), εις ιεταβαθαν A || 34 εξ ετεβαθα] εκ σετεβ. B*(+), εξ ιεταβαθαν A | εις εβρωνα] εις σεβρ. B || 35 εξ εβρωνα] εκ σεβρ. B | γεσσιωνγ. B*: item in 36 || 38 ιερευς] + πλησιον του ορους A(+) || 41 εις] εν ABc || 42 εις] εν A || 43 εις] εν A | ωβωθ] σωβωθ B || 44 εξ ωβωθ] εκ σωβωθ B || 46 εν] εις A || 49 ασιμωθ A | βελσαττιμ] βελσα το B

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/330 UNIVERSITÄT LEIPZIG